Τῷ Πανιερωτάτῳ ἀρχιεπισκόπῳ Φιλαδελφείας Κυρίῳ Γαβριὴλ τῷ Σεβήρῳ Μανουήλος ὁ Γλυζούνιος εὖ πράττειν.—

Πολλοὶ μὲν καὶ ἄλλοι τῶν πρὸ ἡμῶν ὑπὲρ τῆς τῶν τοῦ προφητάνακτος ψαλμῶν ἐκδόσεως πλείστην κατέθεντο τὴν σπουδήν, ὡς ἂν αὕτη εἰς τὸ ὀρθότερόν τε καὶ εὐεντακτότερον πᾶσι τοῖς τῇ οὐρανίῳ ταύτῃ καὶ ὑπερφυεῖ μουσουργίᾳ διηνεκῶς ἐμφιλοχωροῦσι προχέοιτο, κἀντεῦθεν σφοδρότερον ἐκεῖνοι τὸν περὶ τὰ τοιαῦτα θεῖον ἔρωτα προσεπανάπτοιεν, τά τε πάθη εἰκότως κατακοιμίζοιεν, καὶ τῶν χαμερπῶν τούτων ἅμα κουφίζοντες ἑαυτοὺς πρὸς τὸ ἄναντες καὶ τὸ ἄκρον ἀναπτεροῖεν τῶν ἐφετῶν, πανιερώτατε δέσποτα.— Οἱ δὴ τῆς τοιαύτης περὶ τὰ καλὰ προαιρέσεως καὶ μάλα ἐπαινετοί, οὐχ ὅτι γε σφίσιν αὐτοῖς, ἀλλὰ δὴ καὶ ἄλλοις τὰ βέλτιστα προνοῆσαι οὐκ ὤκνησαν. Πλὴν ἀλλ' ὃ τῇ τοῦ καιροῦ προχωρήσει συμβαίνειν φιλεῖ, οὐκ οἶδ' ὅπως καὶ τὸ τοιοῦτον ὑψηλὸν καὶ θεῖον μουσούργημα ὑπὸ τῆς τῶν τυπογράφων ἀβελτηρίας, εἰς ἓν καὶ μόνον ἀποβλεπόντων, τὸ κέρδος, οὐ τὴν τυχοῦσαν ἐν οὐκ ὀλίγοις χωρίοις ἔλαχε τὴν φθοράν. Ὅπερ ἡμεῖς πολλάκις σκεψάμενοι καθ' ἑαυτούς, τῶν προὔργου τι γενέσθαι διενοήθημεν, εἴ γε ἐκ τῶν ἐνόντων προσεπικουρήσαιμέν τι τῷ πράγματι. Καὶ δὴ πολλοῖς καὶ ἄλλοις τῶν παλαιῶν ἀντιγράφων ἐντετυχηκότες, ἄλλως τε καὶ ὧν παρὰ τῆς σῆς πανιερότητος ηὐπορήκαμεν, καὶ ταῦτα ἀλλήλοις παραθέντες, ὡς εἴχομεν ἐπιμελείας, εἰς τὸ ὀρθότερον ἐκδεδώκαμεν, προσχαριοῦντες δὲ καὶ ἄλλοι ἡμῖν, μείζω περὶ ταῦτα τὴν σπουδὴν ἐπιδεδειχότες. Τοῦτ' οὖν οἱονοῦν ἂν εἴη τὸ δώρημα, τῆς πρός σέ μου εὐνοίας τε ἅμα καὶ εὐλαβείας οὐκ ἀμυδρὸν τεκμήριον, ὅ σοι προσφωνῆσαι διέγνωκα, μὴ ἀπαξιώσῃς, παρακαλῶ, ἱλαρῷ τῷ προσώπῳ προσδέξασθαι, πανιερώτατε δέσποτα, εἰ καὶ μὴ πρὸς τῆς σῆς ἀξίας τὰ παρ' ἡμῶν.— Ἀλλ' οὖν αὐτὸς πρὸς τὸ τῆς ἐμῆς ψυχῆς πρόθυμον ἀποβλέψας, εὖ οἶδ' ὅτι οὐκ ἀποδοκιμάσεις τὸ χάρισμα. Ἐρρωμένην διαφυλάττοι ὁ Κύριος τὴν σὴν πανιερότητα εἰς πολλῶν ἐτῶν περιόδους.— Ἐνετίῃσιν ἐλαφηβολιῶνος πέμπτῃ ἱσταμένου, κατὰ τὸ αφπε' ἔτος ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας.—

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

158!

*Omnes Davidis psalmi, in graecum carmine heroico conversi. An Aemylio Francisci Porti cretensis F. Basileae per Leonardum Ostenium, sumptibus Bern. Jobini MDLXXXI, 16ον, φ. 320 ἀνάριθμα.* (μετὰ λατ. μεταφράσεως Leg. II, σ. 31)

Τῷ φιλέλληνι καὶ φιλομούσῳ ἀναγνώστῃ Αἰμύλιος ὁ Πόρτος, ὁ Φραγκίσκου τοῦ Κρητὸς χαίρειν. —

Ἔτος ἤδη πέμπτον, ὦ λῷστε ἀναγνῶστα, ὅτε νόσον μακροτέραν νοσῶν, καὶ διὰ τοῦτο οἴκοι μένων πρὸς τὴν ποιημάτων τινῶν ἀνάγνωσιν ὁρμῆσαι ἠναγκάσθην, ἵνα τῷ τούτων ἡδεῖ τὸ τῆς νόσου χαλεπὸν ἄχθος ἐλαφρύναιμι καὶ τὰς λύπας ἐκβάλοιμι. Τότε τοίνυν τοῖς τοῦ Δαβὶδ ψαλμοῖς ὑπὸ διαφόρων ἀνδρῶν ἑλληνικοῖς μέλεσιν ἑρμηνευθεῖσιν ἐντυχών, καὶ τὴν μὲν τοῦ αὐτῶν ποιήματος γλυκύτητα καὶ ποικιλίαν ἀγασθείς, ὁρῶν δὲ ὑπ' ἐνίων μὲν πάντας τοὺς ψαλμοὺς μεταφρασθέντας, ὑπ' ἐνίων δὲ ὀλίγους τινάς, καὶ κατανοῶν τὰ τούτων ποιήματα διαφορὰς ἔχειν, οὐδὲ τοῖς αὐτοῖς μέτροις πάντας κεχρῆσθαι, οὐδ' ἐν αὐτῇ τῇ ἑρμηνεύσει ὁμοφρονεῖν, καὶ τοσαύτην χρόνου τριβήν, ἣ ταῖς νόσοις πολυχρονίοις ἀκολουθεῖν εἴωθε, ποιεῖσθαι δυσφορῶν, οὐδὲ τέως σχολάζειν ἐθέλων, οὕτω δὴ καὶ αὐτὸς τῷ αὐτῷ ἔργῳ ἐπιχειρεῖν ἐτόλμησα. Τέλος δὲ τῆς νόσου ἀπαλλαχθείς, οὐκ ἄνευ μεγίστης θεοῦ εὐμενείας, ὥσπερ ἀρρωστῶν ἐπεχείρησα, τοῦτο ἤδη ἐρρωμένος ἐπετέλεσα. Εἰ δὲ καλῶς τὸ πρᾶγμα ἔχει, τῶν ἄλλων ἡ κρίσις ἔσται· τοῦτο σαφῶς οἶδα πολλοὺς ἔσεσθαι τῶν φθονερῶν, οἳ πάντων καταφρονεῖν ἐθισθέντες, ἡμῶν οὐ φείσονται· ἀλλὰ τοιούτοις τόδε μόνον ἀποκρινοῦμαι· εἰ τὰ ἡμέτερα αὐτοῖς οὐκ ἀρέσκει, αὐτοὶ κρεῖττον ποιοῦνται, καὶ πολλὴν ἕξω χάριν. Σὺ δέ, ὦ φίλε ἀναγνῶστα, τὴν ἡμῶν προστασίαν λήψῃ. Ἔρρωσο. —

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ